Ross Inscr. ined. 1: *Ἐπὶ ἱερέος Ἡρακλείδα, Κλεοπάτρα Σεκούνδου Πολυεύκτου γυνὴ ἱερασαμένα Ἀλέᾳ Ἀθανᾷ καὶ Δάματρι.*

Mitt. d. arch. Inst. z. Athen IV 137 n. 34: Stele. Zwei Frauen. Inschr.:

ΘΑΛΙ · · ΕΦΙΕΡΕΙΑϹ
ΑΡΤΕΜΙΔΙ ΑΘΗΝΑ.

Paus. VIII 47, 3: *ἱερᾶται δὲ τῇ Ἀθηνᾷ παῖς χρόνον οὐκ οἶδα ὅσον τινά, πρὶν δὲ ἡβάσκειν καὶ οὐ πρόσω, τὴν ἱερωσύνην.*

Paus. VIII 47, 4: *ἔστι δὲ ἐν τοῖς πρὸς ἄρκτον τοῦ ναοῦ κρήνη καὶ ἐπὶ ταύτῃ βιασθῆναι τῇ κρήνῃ φασὶν Αὔγην*[1]) *ὑπὸ Ἡρακλέους, οὐχ ὁμολογοῦντες Ἑκαταίῳ τὰ ἐς αὐτήν* (vgl. Hecat. bei Paus. VIII 4, 8. Diod. IV 33. Hyg. f. 99).

Eurip. bei Strabo XIII 615: *Εὐριπίδης δὲ ὑπὸ Ἀλέου φησὶ τοῦ τῆς Αὔγης πατρὸς εἰς λάρνακα τὴν Αὔγην κατατεθεῖσαν ἅμα τῷ παιδὶ Τηλέφῳ καταποντωθῆναι, φωράσαντος τὴν ἐξ Ἡρακλέους φθοράν· Ἀθηνᾶς δὲ προνοίᾳ τὴν λάρνακα περαιωθεῖσαν ἐκπεσεῖν εἰς τὸ στόμα τοῦ Καΐκου, τὸν δὲ Τεύθραντα ἀναλαβόντα τὰ σώματα, τῇ μὲν ὡς γαμετῇ χρήσασθαι, τῷ δὲ ὡς ἑαυτοῦ παιδί.*

Clem. Al. Strom. VII 4, 22: *εὖ δὲ καὶ ἡ αὐτὴ δικαιολογουμένη πρὸς τὴν Ἀθηνᾶν ἐπὶ τῷ χαλεπαίνειν αὐτῇ τετοκυίᾳ ἐν τῷ ἱερῷ λέγει·*

σκῦλα μὲν βροτοφθόρα
χαίρεις ὁρῶσ' ἀπὸ νεκρῶν ἐρείπια·
κοὐ μικρά σοι ταῦτ' ἐστίν. εἰ δ' ἐγὼ τέκον
δεινὸν τόδ' ἡγῇ —

Arist. ran. 1078:

ποίων δὲ κακῶν οὐκ αἴτιός ἐστ';[2])
οὐ προαγωγοὺς κατέδειξ' οὗτος
καὶ τικτούσας ἐν τοῖς ἱεροῖς κ. τ. λ.[3])

---

1) Selbstverständlich sind hier nur diejenigen Stellen berücksichtigt, in denen Auge als Priesterin der Alea bezeichnet wird.

2) scil. Euripides.

3) vgl. Schol. Arist. ran. 1078.

Pseudo-Alcidam. I 670: *Ἄλεῳ γὰρ τῷ Τεγέας βασιλεῖ ἀφικομένῳ εἰς Δελφοὺς ἐχρήσθη ὑπὸ τοῦ θεοῦ, ὅτι αὐτῷ ἔκγονος ὑπὸ τῆς θυγατρὸς εἰ γένοιτο, ὑπὸ τούτου δεῖ τοὺς υἱεῖς αὐτοῦ ἀπολέσθαι. ἀκούσας δὲ ταῦτα ὁ Ἄλεως διὰ τάχους ἀφικνεῖται οἴκαδε καὶ καθίστησι τὴν θυγατέρα ἱέρειαν τῆς Ἀθηνᾶς εἰπών, εἴ ποτε ἀνδρὶ συγγενήσεται, θανατώσειν αὐτήν. τύχης δὲ γενομένης ἀφικνεῖται Ἡρακλῆς στρατευόμενος ἐπ' Αὐγείαν εἰς Ἦλιν, καὶ αὐτὸν ξενίζει ὁ Ἄλεως ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς· ἰδὼν δὲ ὁ Ἡρακλῆς τὴν παῖδα ἐν τῷ νεῷ ὑπὸ μέθης συνεγένετο.*

Schol. Callim. h. IV 70: *ἔνθα την Αὔγην τὴν Ἀλεοῦ θυγατέρα ἱέρειαν τῆς Ἀθηνᾶς ἔφθειρεν Ἡρακλῆς.*

Apd. II 7, 4: *παριὼν δὲ Τεγέαν Ἡρακλῆς τὴν Αὔγην Ἀλεοῦ θυγατέρα οὖσαν ἀγνοῶν ἔφθειρεν. ἡ δὲ τεκοῦσα κρύφα τὸ βρέφος κατέθετο ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς. λοιμῷ δὲ τῆς χώρας φθειρομένης Ἀλεὸς εἰσελθὼν καὶ ἐρευνήσας τὰς τῆς θυγατρὸς ὠδῖνας εὗρε· τὸ μὲν οὖν βρέφος εἰς τὸ Παρθένιον ὄρος ἐξέθετο κ. τ. λ.*

Apd. III 9, 1: *Αὔγη μὲν οὖν ὑφ' Ἡρακλέους φθαρεῖσα κατέκρυψε τὸ βρέφος ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς, ἧς εἶχε τὴν ἱερωσύνην. ἀκάρπου δὲ τῆς γῆς μενούσης καὶ μηνυόντων τῶν χρησμῶν εἶναί τι ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς δυσσέβημα, φωραθεῖσα ὑπὸ τοῦ πατρὸς παρεδόθη Ναυπλίῳ ἐπὶ θανάτῳ κ. τ. λ.*

Tzetz. Lyc. 206: *Ὁ δὲ Τήλεφος παῖς ἦν Ἡρακλέους καὶ Αὔγης τῆς Ἀλέου θυγατρὸς τοῦ Τεγεάτου καὶ Νεαίρας, ἥτις Αὔγη τὸ βρέφος ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς ἔθετο. Λοιμοῦ δὲ κατασχόντος γνοὺς Ἄλεος τὸ βρέφος εἰς τὸ Παρθένιον ὄρος ῥίπτει, θηλάζει δὲ τοῦτο ἔλαφος.*

Christodor. Ecphr. 138 (Anth. II 1):

ἐγγύθι δ' αὐτοῦ
Παλλάδος ἀρήτειρα παρίστατο παρθένος Αὔγη,
φᾶρος ἐπιστείλασα κατωμαδόν· οὐ γὰρ ἐθείρας
κρηδέμνῃ συνέεργεν· ἑὰς δ' ἀνετείνετο χεῖρας
οἷά τε κικλήσκουσα Διὸς γλαυκώπιδα κούρην
Ἀρκαδικῆς Τεγέης ὑπὸ δειράδος.

Seneca, Herc. Oet. 336:

Arcadia nempe virgo Palladios choros
Dum nectit Auge vim stupri passa excidit
Nullamque amoris Hercules retinet notam.

Stat. silv. IV 6, 52: Aut Aleae lucis vidit Tegeaea sacerdos.

Mos. Chor. Prog. (v. Wilamowitz Anal. Eur. 189): Dum in Arcadiae quadam urbe festum Minervae celebraretur, cum eiusdem sacerdote Augea Alei filia choreas in nocturnis sacris agitante rem Hercules habuit etc.

C. Die Feste.

Paus. VIII 47, 4: *Τοῦ ναοῦ δὲ οὐ πόρρω στάδιον χῶμα γῆς ἐστὶ, καὶ ἄγουσιν ἀγῶνας ἐνταῦθα, [τὸν μὲν] Ἀλεαῖα ὀνομάζοντες ἀπὸ τῆς Ἀθηνᾶς, τὸν δὲ Ἁλώτια, ὅτι Λακεδαιμονίων το πολὺ ἐν τῇ μάχῃ ζῶντας εἷλον.*

Pind. Nem. X 47:

ὅν τε Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν ὑψίβατοι πόλιες
καὶ Λύκαιον παρ' Διὸς θῆκε δρόμῳ σὺν ποδῶν χειρῶν τε νικᾶσαι σθένει.

Schol. Pind. Ol. VII 153: *πολλοὶ δ' ἄγονται ἀγῶνες ἐν Ἀρκαδίᾳ, Λύκαια, Κόρεια, Ἀλεαῖα, Ἕρμαια.*

C. I. G. 1515: *Ἀλεαῖα ἄνδρας δόλιχον.*

Archaeol. Intelligenzbl. d. allgem. Litteraturztg. Halle 1838 S. 324: *καρῦξαι δὲ καὶ ἐν τῷ ἀγῶνι τῶν Ἀλεαίων, ὅτι ὁ σύνοδος τῶν γερόντων στεφανο[ῖ Ἰσαγέ]νη Βα[θυκλ]έος χρυσῷ στεφάνῳ κ. τ. λ.*

D. Anathemata.

Herod. I 66: *Ταῦτα ὡς ἀπενειχθέντα ἤκουσαν οἱ Λακεδαιμόνιοι Ἀρκάδων μὲν τῶν ἄλλων ἀπείχοντο, οἱ δὲ πέδας φερόμενοι ἐπὶ Τεγεήτας ἐστρατεύοντο, χρησμῷ κιβδήλῳ πίσυνοι, ὡς δὴ ἐξανδραποδιεύμενοι τοὺς Τεγεήτας. ἑσσωθέντες δὲ τῇ συμβολῇ ὅσοι αὐτῶν ἐζωγρήθησαν, πέδας τε ἔχοντες τὰς ἐφέροντο αὐτοὶ καὶ σχοίνῳ διαμετρησάμενοι τὸ πεδίον το Τεγεητέων ἐργάζοντο. αἱ δὲ πέδαι αὗται, ἐν τῇσι ἐδεδέατο, ἔτι καὶ ἐς ἐμὲ ἦσαν σόαι ἐν Τεγέῃ περὶ τὸν νηὸν τῆς Ἀλέης Ἀθηναίης κρεμάμεναι.*

Herod. IX 70: *πρῶτοι δὲ ἐσῆλθον Τεγεῆται ἐς τὸ τεῖχος, καὶ τὴν σκηνὴν τὴν Μαρδονίου οὗτοι ἦσαν οἱ διαρπάσαντες, τά τε ἄλλα ἐξ αὐτῆς καὶ τὴν φάτνην τῶν ἵππων ἐοῦσαν χαλκέην πᾶσαν καὶ θέης ἀξίην. τὴν μὲν νῦν φάτνην ταύτην τὴν Μαρδονίου ἀνέθεσαν ἐς τὸν νηὸν τῆς Ἀλέης Ἀθηναίης Τεγεῆται, τὰ δὲ ἄλλα ἐς τὠυτό, ὅσαπερ ἔλαβον, ἐσήνεικαν τοῖσι Ἕλλησι.*

Paus. VIII 47, 2: *Ἀναθήματα δὲ ἐν τῷ ναῷ τὰ ἀξιολογώτατα, ἔστι μὲν τὸ δέρμα ὑὸς τοῦ Καλυδωνίου*[1]), *διεσήπετο δὲ ὑπὸ τοῦ χρόνου καὶ ἐς ἅπαν ἦν τριχῶν ἤδη ψιλόν, εἰσὶ δὲ αἱ πέδαι κρεμάμεναι, πλὴν ὅσας ἠφάνισεν αὐτῶν ἰός, ἃς γε ἔχοντες Λακεδαιμονίων οἱ αἰχμάλωται τὸ πεδίον Τεγεάταις ἔσκαπτον. κλίνη δὲ ἱερὰ τῆς Ἀθηνᾶς καὶ αὐτῆς εἰκὼν γραφῇ μεμιμημένη, Μαρπήσσης τε ἐπίκλησιν Χήρας γυναικὸς Τεγεάτιδος ἀνάκειται τὸ ὅπλον.*

Paus. VIII 5, 3: *Ἰλίου δὲ ἁλούσης ὁ τοῖς Ἕλλησι κατὰ τὸν πλοῦν τὸν οἴκαδε ἐπιγενόμενος χειμὼν Ἀγαπήνορα καὶ τὸ Ἀρκάδων ναυτικὸν κατήνεγκεν ἐς Κύπρον, καὶ Πάφου τε Ἀγαπήνωρ ἐγένετο οἰκιστὴς καὶ τῆς Ἀφροδίτης κατεσκευάσατο ἐν Παλαιπάφῳ τὸ ἱερόν. τέως δὲ ἡ θεὸς παρὰ Κυπρίων τιμὰς εἶχεν ἐν Γολγοῖς καλουμένῳ χωρίῳ. χρόνῳ δὲ ὕστερον Λαοδίκη γεγονυῖα ἀπὸ Ἀγαπήνορος ἔπεμψεν ἐς Τεγέαν τῇ Ἀθηνᾷ τῇ Ἀλέᾳ πέπλον· τὸ δὲ ἐπὶ τῷ ἀναθήματι ἐπίγραμμα καὶ αὐτῆς Λαοδίκης ἅμα ἐδήλου τὸ γένος·*

Λαοδίκης ὅδε πέπλος· ἑᾷ δ' ἀνέθηκεν Ἀθηνᾷ
Πατρίδ' ἐς εὐρύχορον Κύπρου ἀπὸ ζαθέας.

Anyte Anth. VI 153:

Βουχανδὴς ὁ λέβης· ὁ δὲ θεὶς Ἐριασπέδα υἱός,
Κλεύβοτος· ἁ πάτρα δ' εὐρύχορος Τεγέα·
τ' Ἀθάνᾳ δὲ τὸ δῶρον· Ἀριστοτέλης δ' ἐπόησεν
Κλειτόριος, γενέτᾳ ταὐτὸ λαχὼν ὄνομα.

Bull. d. I. 1865 p. 131: Bronzestatuette aus Tegea. Athena langgewandet mit Helm. Inschr.:

ΑΝΕΘΕΚΕΝΤΑΘΕΝΑΙΑΙ.[2])

1) vgl. Callim. Dian. 219.

2) Ueber die Deposition von Geldern im Tempel der Alea durch Lakedaimonier vgl. Roehl I. G. A. 68. Posidon. bei Athen. VI 233 F.

E. Das Asyl.

Paus. III 7, 9: *Λεωτυχίδης δὲ ἀντὶ Δημαράτου γενόμενος βασιλεὺς μετέσχε μὲν Ἀθηναίοις καὶ Ἀθηναίων τῷ στρατηγῷ Ξανθίππῳ τῷ Ἀρίφρονος τοῦ ἔργου τοῦ πρὸς Μυκάλῃ, ἐστράτευσε δὲ ὕστερον τούτων καὶ ἐπὶ τοὺς Ἀλευάδας ἐς Θεσσαλίαν. καί οἱ καταστρέψασθαι Θεσσαλίαν πᾶσαν ἐξὸν ἅτε ἀεὶ νικῶντι ἐν ταῖς μάχαις, δῶρα ἔλαβε παρὰ τῶν Ἀλευαδῶν. ὑπαγόμενος δὲ ἐν Λακεδαίμονι ἐς δίκην ἔφυγεν ἐθελοντὴς ἐς Τεγέαν. καὶ ὁ μὲν αὐτόθι τὴν Ἀθηνᾶν τὴν Ἀλέαν ἱκέτευε, Λεωτυχίδου δὲ ὁ μὲν παῖς Ζευξίδαμος κ. τ. λ.*[1])

Paus. II 17, 7: *Ἔστι δὲ ὑπὲρ τὸν ναὸν τοῦτον τοῦ προτέρου ναοῦ θεμέλιά τε καὶ εἰ δή τι ἄλλο ὑπελείπετο ἡ φλόξ. κατεκαύθη δὲ τὴν ἱέρειαν τῆς Ἥρας Χρυσηΐδα ὕπνου καταλαβόντος, ὅτε ὁ λύχνος ὁ πρὸ τῶν στεφανωμάτων ἥπτετο. Καὶ Χρυσηΐς μὲν ἀπελθοῦσα ἐς Τεγέαν τὴν Ἀθηνᾶν τὴν Ἀλέαν ἱκέτευεν· κ. τ. λ.*[2])

Paus. III 5, 6: *Τότε δὲ ἐν αἰτίᾳ ποιουμένων τῶν πολιτῶν τὴν βραδυτῆτα αὐτοῦ τὴν ἐς Βοιωτίαν οὐχ ὑπέμεινεν* (scil. Pausanias) *ἐσελθεῖν ἐς δικαστήριον, Τεγεᾶται δὲ αὐτὸν τῆς Ἀθηνᾶς ἱκέτην ἐδέξαντο τῆς Ἀλέας. ἦν δὲ ἄρα τὸ ἱερὸν τοῦτο ἐκ παλαιοῦ Πελοποννησίοις πᾶσιν αἰδέσιμον καὶ τοῖς αὐτόθι ἱκετεύουσιν ἀσφάλειαν μάλιστα παρείχετο· ἐδήλωσάν τε οἵ τε Λακεδαιμόνιοι τὸν Παυσανίαν καὶ ἔτι πρότερον τούτου Λεωτυχίδην καὶ Ἀργεῖοι Χρυσίδα καθεζομένους ἐνταῦθα ἱκέτας, οὐδὲ ἀρχὴν ἐξαιτῆσαι θελήσαντες.*

Plut. Lys. 30: *Τοιαύτης δὲ τῷ Λυσάνδρῳ τῆς τελευτῆς γενομένης παραχρῆμα μὲν οὕτως ἤνεγκαν οἱ Σπαρτιᾶται βαρέως, ὥστε τῷ βασιλεῖ κρίσιν προγράψαι θανατικήν· ἣν οὐχ ὑποστὰς ἐκεῖνος ἐς Τεγέαν ἔφυγε, κἀκεῖ κατεβίωσεν ἱκέτης ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς.*[3])

F. Phyle.

Paus. VIII 53, 6: *Τεγεάταις δὲ τοῦ Ἀγυιέως τὰ ἀγάλματα τέσσαρά εἰσιν ἀριθμὸν ὑπὸ φυλῆς ἓν ἑκάστης ἱδρυμένον·*

---

1) vgl. Herod. VI 72.
2) vgl. aber Thuc. IV 133.
3) vgl. Xen. Hell. III 5, 25.

ὀνόματα δὲ αἱ φυλαὶ παρέχονται Κλαρεῶτις, Ἱπποθοῖτις, Ἀπολλωνιᾶτις, Ἀθανεᾶτις.

C. I. G. 1513: *Ἐπ' Ἀθαναίαν πολῖται.*

Lebas-Foucart 338b: *Ἀθαναιᾶτις.*

Lebas-Foucart 338c: *Ἐπ' Ἀθ]αναίαν.*

G. Athena Poliatis.

Paus. VIII 47, 5: *Τεγεάταις δέ ἐστι καὶ ἄλλο ἱερὸν Ἀθηνᾶς Πολιάτιδος· ἑκάστου δὲ ἅπαξ ἔτους ἱερεὺς ἐς αὐτὸ ἔσεισι. τὸ τοῦ ἐρύματος ἱερὸν ὀνομάζουσι, λέγοντες, ὡς Κηφεῖ τῷ Ἀλεοῦ γένοιτο δωρεὰ παρὰ Ἀθηνᾶς ἀνάλωτον ἐς τὸν πάντα χρόνον εἶναι Τεγέαν· καὶ αὐτῷ φασιν ἐς φυλακὴν τῆς πόλεως ἀποτεμοῦσαν τὴν θεὸν δοῦναι τριχῶν τῶν Μεδούσης.*

Apd. II 7, 3: *καὶ παραγενόμενος εἰς Ἀρκαδίαν ἠξίου* (scil. Herakles) *Κηφέα μετὰ τῶν παίδων ὧν εἶχεν εἴκοσι συμμαχεῖν. δεδιὼς δὲ Κηφεὺς μὴ καταλιπόντος αὐτοῦ Τεγέαν Ἀργεῖοι ἐπιστρατεύσωνται, τὴν στρατείαν ἠρνεῖτο. Ἡρακλῆς δὲ παρ' Ἀθηνᾶς λαβὼν ἐν ὑδρίᾳ χαλκῇ βόστρυχον Γοργόνος Ἀερόπῃ τῇ Κηφέως θυγατρὶ δίδωσιν εἰπών, ἐὰν ἐπίῃ στρατὸς τρὶς ἀνασχούσης ἐκ τῶν τειχῶν τὸν βόστρυχον καὶ μὴ προϊδούσης τροπὴν τῶν πολεμίων ἔσεσθαι.*

C. I. G. 1520: . . . *θηκε[ν] Ϝασστυόχῳ.*

H. Verschiedenes.

Herodian. bei Steph. B. s. v. *Ἀλέα· ἀλέα ἐπὶ τῆς θερμασίας καὶ ὁπότε δηλοῖ τὴν φυγὴν βαρύνεται, ἐπὶ δὲ τῆς Ἀθηνᾶς ὀξύνεται.*

Monumentalreste: Leake: Morea I 90 ff. Ross: Reisen 67 ff. Welcker: a. D. I 199. Jahn: arch. Aufs. 165 ff. Curtius: Pelop. I 255 ff. Milchhöfer: Mitt. d. arch. Inst. z. Athen V 52 f. Treu: A. Z. 1880 S. 98 ff. Dörpfeld: Mitt. d. arch. Inst. z. Athen VIII 274 ff. Graef: Mitt. d. arch. Inst. z. Rom IV 207 ff.

Münzen: Leake Eur. Sup. 147: Athena in langem Chiton mit Speer und Schild. — Athenakopf. R. Eule. *ΑΘΑΝΑ ΑΛΕΑ.* Mionnet II 255 n. 65—67. Suppl. IV 292 n. 119: Athenakopf n. r. II n. 69: Athenakopf n. r. R. Wölfin ein

Kind säugend (desgl. n. 70 u. Suppl. IV n. 117. 118). II n. 71: R. Krieger (desgl. Suppl. IV n. 112). II n. 72: *ΤΕΓΕΑΤΑΝ* Mars et Pallas debout, se donnant la main; au milieu d'eux une petite figure présentant un vase à Pallas. R. Aleos (desgl. n. 73). II n. 68: Pallas debout tournée à dr., à ses pieds une petite figure lui présente un vase. R. Artemis. Suppl. IV 116: R. Demeter. Suppl. IV n. 115: *ΤΕΓΕΑΤΑΝ* Minerve casquée debout tournée à dr. tenant la haste de la m. g. et tendant la dr. à une jeune fille debout devant elle. R. Apollon. Journ. of Hell. stud. VII 113: Athene handing to Sterope as priestess the hair of Medusa, which the latter receives in a vessel. — Same scene in the presence of Cepheus, who receives the hair from the goddess.[1]) Mitt. d. arch. Inst. z. Athen VII 2. Gorgoneion. R. Eule. vgl. noch A. Z. 1848 S. 277 T. 18 u. 19. Cat. of gr. coins in the Brit. Mus. Pelop. XXXVII 6—21. Head h. n. 380 ff.

Teuthis.

Paus. VIII 28, 4: *Τῇ χώρᾳ δὲ τῇ Θεισόᾳ προσεχὴς κώμη Τεῦθίς ἐστι· πάλαι δὲ ἦν πόλισμα ἡ Τεῦθις. ἐπὶ δὲ τοῦ πολέμου τοῦ πρὸς Ἰλίῳ ἰδίᾳ παρείχοντο οἱ ἐνταῦθα ἡγεμόνα· ὄνομα δὲ αὐτῷ Τεῦθιν, οἱ δὲ Ὄρνυτόν φασιν εἶναι. ὡς δὲ τοῖς Ἕλλησιν οὐκ ἐγίνετο ἐπίφορα ἐξ Αὐλίδος πνεύματα, ἀλλὰ ἄνεμος σφᾶς βίαιος ἐπὶ χρόνον εἶχεν ἐγκλείσας, ἀφίκετο ὁ Τεῦθις Ἀγαμέμνονι ἐς ἀπέχθειαν καὶ ὀπίσω τοὺς Ἀρκάδας ὧν ἦρχεν ἀπάξειν ἔμελλεν. ἐνταῦθα Ἀθηνᾶν λέγουσι Μέλανι τῷ Ὦπος εἰκασμένην ἀποτρέπειν τῆς ὁδοῦ Τεῦθιν τῆς οἴκαδε. ὁ δὲ, ἅτε οἰδοῦντος αὐτῷ τοῦ θυμοῦ, παίει τὴν θεὸν τῷ δόρατι ἐς τὸν μηρὸν, ἀπήγαγε δὲ καὶ ἐκ τῆς Αὐλίδος ὀπίσω τὸν στρατόν. ἀναστρέψας δὲ ἐς τὴν οἰκείαν τὴν θεὸν ἔδοξεν αὐτὴν τετρωμένην φανῆναί οἱ τὸν μηρόν. τὸ δὲ ἀπὸ τούτου κατέλαβε Τεῦθιν φθινώδης νόσος, μόνοις δὲ Ἀρκάδων τοῖς ἐνταῦθα οὐκ ἀπεδίδου καρπὸν οὐδένα ἡ γῆ. χρόνῳ δὲ ὕστερον ἄλλα τε ἐχρήσθη σφίσιν ἐκ Δωδώνης ὁποῖα δρῶντες ἱλάσασθαι τὴν θεὸν ἔμελλον, καὶ ἄγαλμα ἐποιήσαντο Ἀθηνᾶς*

1) Identisch mit Mionnet II 255 n. 72?

ἔχον τραῦμα ἐπὶ τοῦ μηροῦ. τοῦτο καὶ αὐτὸς τὸ ἄγαλμα εἶδον, τελαμῶνι πορφυρῷ τὸν μηρὸν κατειλημένον.

Polemon bei Clem. Al. Protr. 31: *Πολέμων δὲ καὶ τὴν Ἀθηνᾶν ὑπὸ Ὀρνύτου τρωθῆναι λέγει* (vgl. Arnob. IV 25).

Unter den arkadischen Athenakulten nimmt der altberühmte Kult der Alea von Tegea eine so hervorragende Stellung ein, dafs es sich empfiehlt, diesen zum Ausgangspunkt zu nehmen. Die Bedeutung des Namens Alea hat von jeher eine Streitfrage gebildet. Während der erste Bearbeiter der Athenakulte, Emil Rückert, darin den Begriff der Zuflucht und Abwehr erkannte[1]), sah C. O. Müller in der Alea die Verkörperung der fruchtbaren Sonnenwärme.[2]) Für beide Auffassungen sprechen gute Gründe. Für die Rückertsche das Asyl, das der Tempel seit uralten Zeiten bot, das *ἔρυμα* der Gorgonenlocke im Tempel der Poliatis, die Meister mit Recht für nicht verschieden von der Alea erklärt[3]), die Aufhängung der Fesseln der gefangenen Spartaner im Tempel u. A. m. Für die andere Ansicht läfst sich anführen: Die von der zürnenden Göttin verhängte Unfruchtbarkeit des Bodens, der Name der doch wohl als Hypostase der Göttin aufzufassenden Priesterin Auge; dementsprechend ferner der Umstand, dafs das Grab der den gleichbedeutenden Namen Maira tragenden Gattin des Tegeates, der Mutter des Skephros und Leimon, deren auf den Kampf zwischen Sonnenwärme und Wasser bezüglichen Mythos[4]) Paus. VIII 53, 1 berichtet, sich bei der Quelle Alalkomenias im Gebiet von Mantineia befand, wo gleichfalls die Alea verehrt wurde.[5])

Beide Bedeutungen kommen meiner Ansicht nach der Alea zu. Allerdings wird die eine als ältere, die andere als

1) Der Dienst der Athena. Hildburghausen 1829.

2) Kl. Schr. II 134 ff. vgl. Proculus in Hesiod. opp. 491: *ἀλέα δὲ ἡ θέρμη ἡ περὶ τὸν ἥλιον, κυρίως ὕπαιθρος τόπος ὑπὸ ἡλίου θερμαινόμενος. Μένανδρος ἀλέας Ἀθήνας* (Menand. fr. 462a Mein.).

3) Ber. d. sächs. Ges. d. W. 1889 S. 71 ff.

4) vgl. darüber die Kulte der Letoiden.

5) vgl. Paus. VIII 12, 7. VIII 48, 6.

jüngere aufzufassen sein. Athena ist hier im fruchtbaren Ἀφειδάντειος κλῆρος[1]) zunächst als Schützerin des Ackerbaus aufzufassen, als die gedeihliche Sonnenwärme, welche die sumpfige Ebene entwässert. Daher ein fortwährender Kampf mit den Poseidonischen Gewalten, der sich in den nebeneinanderbestehenden Kulten beider Gottheiten wiederspiegelt. Denn in Tegea bestand ein inschriftlich beglaubigter[2]) Poseidonkult, und in Mantineia, der zweiten Kultstätte der Alea, war Poseidon der an erster Stelle verehrte Gott, dessen Priester die Eponymen stellten. Eine Münze von Mantineia zeigt im Avers Athena, im Revers Poseidon.[3]) Athena- und Poseidonkulte finden wir ferner nebeneinanderbestehend in Asea, Kaphyai, Lykosura, Megalopolis, Orchomenos, Pallantion und Pheneos. Wenn die Göttin zürnt, dann gewinnen die Poseidonischen Gewalten die Oberhand: Auge, die Frevlerin, wird dem Poseidonischen Nauplios übergeben, als Unfruchtbarkeit das Land befällt. Der Mythos von Kaphyai läſst die Einwohner aus Attika stammen, die, vom Poseidonischen Aigeus vertrieben, beim Kepheus, dem Sohne des Aleos, in Arkadien eine Zuflucht fanden. Hier haben wir bereits den Begriff des ἔρυμα: die Zuflucht vor den feindlichen Gewässern, bald vor den menschlichen Feinden. Dieser Uebergang wurde beschleunigt durch die Einführung des Demeterkultes, durch welchen Athena aus ihren Functionen als Göttin des Ackerbaus verdrängt wurde. Ein Merkmal der neuen Anschauungen ist das Verschwinden der Athena Hippia, die, aus dem Demos des Manthyreis geholt, in Tegea bald in der Alea aufgeht[4]), während sie in Kleitor nur noch als Koria bekannt ist.

Diese Umwandlung des Kults ist natürlich zum guten

---

1) vgl. Ap. Rhod. I 162. Paus. VIII 4, 3.

2) Ross: Inscr. ined. 7.

3) Millingen: Anc. coins IV 23.

4) Der Lokalmythos weiſs bezeichnender Weise den Namen Hippia nur noch aus der jüngeren, kriegerischen Bedeutung der Alea heraus zu erklären: weil nämlich Athena den Enkelados im Streitwagen angegriffen habe.

Teil auf Rechnung auswärtiger Einflüsse zu schreiben. Besonders auffällig sind im Aleakult die Uebereinstimmungen mit dem durch den Perseusmythos illustrirten Athenakulte von Argos. Die Aehnlichkeit des Auge- und des Danaemythos springt in die Augen. Dazu kommt der in die Augesage hineingreifende argivische Nauplios. Den Altar der Alea hat der argivische Melampus errichtet. In Tegea wird eine Locke der Medusa als Schutzheiligtum der Stadt verwahrt. Auf dem Markte von Argos liegt das Gorgonenhaupt vergraben. Die Statue der Alea steht zwischen Asklepios und Hygieia. Nach dem argivischen Mythos hat Asklepios von Athena das sowohl Todte zum Leben erweckende, wie Leben vernichtende Gorgonenblut erhalten.[1]) Bezeichnend ist schliefslich, dafs Il. *Δ* 8. *E* 908 die Athena Alalkomeneis mit der Hera Argeie zusammen genannt wird. Der Tegeatische Kult scheint also von dem argivischen Athenakult, der sich in der Perseussage ausdrückt, abhängig zu sein.

Prüfen wir die Richtigkeit dieser Vermutung nunmehr an der Hand der Genealogie. Von den drei Arkassöhnen Elatos, Apheidas und Azan haben wir den ersten als Vertreter des thessalischen Stamms bereits kennen gelernt. Von Apheidas sagt Pausanias (VIII 4, 3): *Ἀφείδας δὲ Τεγέαν καὶ τὴν προσεχῆ ταύτης ἔλαχεν, ἐπὶ τούτῳ δὲ καὶ ποιηταὶ καλοῦσιν Ἀφειδάντειον κλῆρον τὴν Τεγέαν.*[2]) Dies die gesammtarkadische Version. Die Tegeatische Lokaltradition lautet jedoch anders: Paus. VIII 45, 1: *Τεγεᾶται δὲ ἐπὶ μὲν Τεγεάτου τοῦ Λυκάονος τῇ χώρᾳ φασὶν ἀπ' αὐτοῦ γενέσθαι μόνῃ τὸ ὄνομα, τοῖς δὲ ἀνθρώποις κατὰ δήμους εἶναι τὰς οἰκήσεις, Γαρεάτας καὶ Φυλακεῖς καὶ Καρυάτας τε καὶ Κορυθεῖς, ἔτι δὲ Πωταχίδας καὶ Οἰάτας, Μανθυρεῖς τε καὶ Ἐχευήθεις· ἐπὶ δὲ Ἀφείδαντος βασιλεύοντος καὶ ἔνατός σφισι δῆμος προσεγένετο Ἀφείδαντες.* Die Apheidanten sind also ein jüngerer, zugewanderter Stamm. Aus dem älteren Demos der Manthyreis stammte bekanntlich das Bild der Athena

1) vgl. Apd. III 10, 3. Eur. Ion 623.
2) vgl. Ap. Rhod. I 162.

Hippia, welche später zur Alea wurde. Der „kriegerische Stamm der Apheidanten“[1]) also scheint den Begriff der „Abwehr“-Athena mitgebracht zu haben. Wer sind nun die Apheidanten? Zunächst finden wir in Athen ein Geschlecht Ἀφειδαντίδαι[2]), deren Stammvater der König Apheidas, der vorletzte Theseide ist. Ferner heifst es bei Steph. B. s. v. Ἀφείδαντες· μοῖρα Μολοσσῶν, ἀπὸ Ἀφείδαντος βασιλέως. Zu dem arkadischen und attischen König kommt also noch ein Molosser Apheidas. Zwischen diesen drei Stämmen bestehen allerlei Beziehungen. Pausanias (VII 25, 1) bringt ein Orakel, das den Athenern unter König Apheidas von Dodona aus gegeben wurde. Dodona aber liegt im Molosserlande. Beziehungen zwischen Molossern und Arkadern deutet Ovid in seiner Version des Lykaonmythos an:

Met. I 226: Nec contentus eo, missi de gente Molossa
Obsidis unius iugulum mucrone resolvit.

Hier handelt es sich zwar um den Sagenkreis der Azanen, aber auch diese finden wir im attischen Demos Azenia. Weiter: Der Theseide Apheidas wird von seinem Bruder Thymoitas erschlagen; unter diesem kommen die Neleiden ins Land.[3]) Der Gegner des Nestor aber, der Arkader Ereuthalion, wird Sohn des Apheidas genannt.[4]) Sowohl die attischen wie die arkadischen Apheidanten stehen also im feindlichen Gegensatz zu den Neleiden.

Damit ist jedoch noch nichts gewonnen; verfolgen wir also die Apheidanten weiter. Des Apheidas Sohn ist Aleos, der Gründer der Stadt Tegea, eine offenbar nur dem Kultnamen Alea zu Liebe erfundene Figur. Bei Kepheus hingegen, dem Sohne des Aleos, treten schon wieder die attischen Beziehungen hervor. Er nimmt die von Aigeus vertriebenen Attiker in Kaphyai auf.[5]) Sein Sohn Thespeios ist Gründer

1) E. Curtius Pelop. I 251.
2) C. I. A. II 785. vgl. Töpffer: Attische Genealogie Berlin 1889 S. 169 f.
3) Demon bei Athen. III 96 D.
4) Schol. Il. IV 319.
5) Paus. VIII 23, 3.

von Thespiai im Schol. Il. II 498, während dieser Thespeios sonst als Sohn des Erechtheus[1]), oder des Pandioniden Teuthras[2]) gilt. Sehr wichtig aber ist es, dafs wir bei Kepheus direct argivische Beziehungen constatiren können, denn er erhält von Athena die Gorgonenlocke. Hierbei ist daran zu erinnern, dafs auch im Perseusmythos ein Kepheus als Vater der Andromeda eine Rolle spielt. Noch deutlicher treten diese Beziehungen zu Argolis beim Sohne des Kepheus, Aeropos[3]), hervor. Aeropos ist nach Herod. VIII 137 ein Temenide, der mit zwei Brüdern von Argos nach Illyrien floh, von dort nach Makedonien ging, wo sie Begründer der Dynastie wurden. In Folge dessen kennt Hesych s. v. ein Geschlecht der Aeropes in Makedonien. Daneben aber sagt er: *Ἀέροπες· ἔθνος Τροιζῆνα κατοικοῦντες.* Aus Troizen aber stammen die Theseiden, zu denen die Apheidanten so zahlreiche Beziehungen haben. Wenn nun Aerope Gemahlin des Atreus heifst, wenn diese vorher, grade wie Auge, dem Nauplios wegen eines ähnlichen Vergehens zur Bestrafung übergeben wurde[4]), wenn des Aeropos Sohn Echemos im Bunde mit Atreus den Hyllos erschlägt[5]), wenn endlich ein König Pheidon von Argos nach Tegea flieht, so kann wohl kein Zweifel mehr daran bestehen, dafs die Tegeatischen Apheidanten aus Argolis stammen. Ihre Beziehungen zu Attika sind dadurch erklärt. Was den Molosserzweig anlangt, so läfst sich für dessen Bestimmung vielleicht der Zug der Aeropes nach Illyrien verwerten.

Da nun die Apheidanten die Träger des Kults der kriegerischen Athena Alea sind, da diese Apheidanten aus Argolis stammen, so ist damit der Beweis erbracht, dafs der Kult der Athena Alea in seiner später allgemein gültigen Form argivischen Ursprungs ist. Die Annahme

1) Diod. IV 29 u. A.

2) Steph. B. s. v. *Θεσπεία.*

3) Eine Tochter Aerope erwähnt Apollod. II 7, 3.

4) Soph. Ai. 1295 ff. u. Schol. Soph. Ai. 1297.

5) Herod. IX 26. Paus. VIII 5, 1. 45, 2. Diod. IV 58. Schol. Pind. Ol. X 79 u. A.

Meisters[1]), daſs zur Zeit der oben im Wortlaut gebrachten Inschrift Alea der Vorort einer Amphiktyonie war, welche den Tegeatischen und die verwandten Kulte vereinigte, ist sehr wahrscheinlich, doch geht daraus nicht hervor, daſs der Kult von Alea auch der älteste gewesen ist, wie Meister anzunehmen scheint. In diesen Kreis würden alsdann noch die Kulte von Mantineia, wo die Athena ebenfalls als Alea verehrt wurde, und von Kaphyai, der Gründung des Aleossohnes Kepheus, zu beziehen sein, während in Kleitor, dessen Athena Koria, wie die Zeugnisse lehren, ebenfalls als Hippia zu betrachten ist, der Entwicklungsgang des Kults doch ein etwas anderer gewesen zu sein scheint. Davon später mehr.

Auf ein ganz anderes Gebiet führt uns die Verehrung der Athena als Tritonia, wie wir sie in Pheneos und Aliphera fanden. Die Athena Tritonia ist, wie Th. Bergk[2]) nachgewiesen hat, die am heiligen Tritonflusse[3]) geborene Zeustochter. In Confundirung mit dem jüngeren Mythos von der Geburt der Athena aus dem Haupte des Zeus finden wir daher in Aliphera neben einer Quelle Tritonis einen Kult des Zeus Lecheates, des „Kindbetters".[4]) Umgekehrt wird die *κορυφαγενὴς Ἀθηνᾶ*[5]) zur Tochter der Okeanostochter Koryphe gemacht. Da diese nun nach Cicero[6]) bei den Arkadern als *Κορία* verehrt wurde, so haben wir auch die Athena Koria von Kleitor in diesen Kreis zu ziehen[7]), welche ebenso wie die Tritonia von Pheneos und Aliphera auf Bergeshöhe ihren Tempel hatte. Da aber in der Koria von Kleitor, wie wir sahen, ursprünglich eine Hippia steckt, so

---

1) a. a. O.

2) Jahrb. f. cl. Phil. N. F. VI 1860 S. 289 ff. 377 ff.

3) vgl. Chrysipp. bei Galen. de plac. Hipp. et Plat. III p. 273. Apollod. II 3, 6.

4) Pape-Benseler: Wörterb. d. griech. Eigenn. s. v.

5) vgl. Plut. de Is. et Osir. 75.

6) de nat. deor. III 59.

7) Athena Koresia in Korion auf Kreta St. B. s. v. *Κόριον*. *Κόρη* in Athen vgl. Plato legg. 706 B.

mufs die Hippia als gleichbedeutend mit der Tritonia aufgefafst werden.

Der Kult der Wasser-Athena führt uns nach Boiotien. Bei Alalkomenai im Gebiete von Haliartos befand sich der Tritonflufs, an den der boiotische Mythos die Geburt der Athena verlegte.[1]) Die Gründerin des Orts soll eine Tochter des Ogyges gewesen sein. Diese Ogygestochter ist aber bekanntlich identisch mit der Athena Onka von Theben. Die Zusammengehörigkeit der Kulte von Haliartos und Theben wird bestätigt durch die bei Haliartos befindliche Quelle Tilphusa, die gleich dem Kulte im arkadischen Thelpusa auf die Erinys Tilphossa[2]) von Theben hinweist. Aber auch direct mit Pheneos wird Haliartos verbunden durch den Demeterkult. In Haliartos wird der höchste Schwur bei den Praxidikai geleistet[3]), Wesen, die offenbar aus dem Kulte der Thebanischen Demeter Thesmophoros entnommen sind. In Pheneos gilt als höchster Schwur der beim Petroma der Demeter.[4]) Derselbe Einflufs des Thebanischen Kultcomplexes zeigt sich auch in Pallantion, denn die Katharoi, welche Pausanias[5]) dort in directem Anschlufs an den Demeterkult erwähnt, und bei denen gleichfalls geschworen wird, sind doch sicher derselben Kategorie zuzuweisen, wie das Petroma von Pheneos und die Praxidikai von Haliartos.

Der Thebische Dreiverein — Athena Onka, Demeter Thesmophoros, Erinys Tilphossa — fafste natürlich den lokalen Besonderheiten entsprechend nicht überall gleichmäfsig Wurzel. Während in Thelpusa die Verehrung der Erinys Tilphossa und Demeter Thesmophoros deutlich beglaubigt ist, findet sich von der Athena Onka nur noch eine schwache Spur in dem später dem Apollon geheiligten Onkeion.[6]) Im wasserreichen Pheneos dagegen erhielt die Wasser-

1) Paus. IX 33, 7.
2) vgl. Schol. Soph. Ant. 126.
3) Paus. IX 33, 2.
4) Paus. VIII 15, 1.
5) Paus. VIII 44, 5.
6) vgl. darüber die Besprechung der Demeterkulte.

Athena ihr Heiligtum auf der Akropolis neben dem Poseidon Hippios.

Diese boiotischen Einflüsse kreuzen sich nun aber mit anderen, die, an und für sich schwer definirbar, als charakteristisches Merkmal eine Verbindung des Athenakults mit dem Trojanischen Kriege aufweisen. Odysseus gründet nach der Heimkehr von Ilios das Athenaheiligtum von Asea. Teuthis-Ornytos will nicht am Zuge gegen Troja teilnehmen und gerät dadurch in Conflict mit der Athena. In Pheneos treffen wir den Palladienräuber Dardanos[1]), den Stifter der troischen Dynastie, denn es heifst bei Serv. Verg. Aen. III 167: Graeci et Varro humanarum rerum Dardanum non ex Italia, sed de Arcadia urbe Pheneo oriundum dicunt. Und seine Gemahlin ist Chryse, die mit Athena zusammen aufgewachsene Tochter des Pallas aus Pallantion, die ihm als Mitgift die Palladien bringt.[2]) Alle diese Züge weisen nach dem nördlichen Kleinasien hin; im Hinblick auf das Palladion aber dürfen wir den directen Ursprung dieser arkadischen Kultgruppe wohl näher suchen, nämlich in dem mit der Diomedessage verknüpften Athenakult von Argos, von welchem diese Kulte ebenso abhängig erscheinen, wie der Aleakult von dem argivischen Perseus-Athenakult.[3])

Braucht man auch nicht so weit zu gehen, in den Palatischen Felsen, wohin Eumedes das Palladion bringt[4]), Pallantion zu erkennen, so sind doch auch andere, einen derartigen Zusammenhang zwischen Argos und den arkadischen Athenakulten andeutende Züge vorhanden. So heifst es bei Festus p. 269: Tubilustria, quibus diebus ascriptum in fastis est, cum in atrio Sutorio agna tubae lustrantur. ab eis tubis

---

1) Mnaseas bei Steph. B. s. v. *Δάρδανος*. vgl. für die hier aufgeführten Züge die Anmerkung zu S. 41.

2) Dion. Hal. I 68.

3) Dafs grade diese Einflüsse mit den Thebanischen sich verschmelzen, wird nicht weiter befremden, wenn man den argivischen Ursprung der Kadmeionen bedenkt und sich der Version der Sage erinnert, welche den Dardanos zusammen mit der Harmonia nach Samothrake fliehen läfst, wo Kadmos die Letztere heiratet (Mnaseas a. a. O.).

4) Callim. h. V 35 ff.

appellant, quod genus lustrationis ex Arcadia Pallanteo translatum esse dicunt. Eine Athena Σάλπιγξ aber erwähnt in Argos Paus. II 21, 3. Wenn wir nun auch grade bei dem Kulte von Pallantion mit grofser Vorsicht verfahren müssen, da die ausschliefslich römische Tradition, die wir über denselben besitzen, als äufserst tendenziös gefärbt zu betrachten ist, so verdienen solche auffällige Uebereinstimmungen doch registrirt zu werden.

Wir haben also folgende Gruppen, beziehungsweise Entwicklungsphasen im arkadischen Athenakult zu unterscheiden:

I. Einen alten, in seinem Ursprunge nicht mehr deutlich nachweisbaren, vermutlich aber mit der unter IIB zu nennenden Gruppe nahe verwandten Kult der Athena, dessen Spuren in Kleitor und im Tegeatischen noch erkennbar waren, und der die Göttin als Hippia bezeichnete.

II. Dieser alte Kult wird durch von auswärts her sich geltend machende Einflüsse umgestaltet, und zwar:

A. Durch den aus Argolis einwandernden, den argivischen Perseus-Athenakult mit sich führenden Stamm der Apheidanten zur Athena Alea. Hierher gehören die Kulte von Tegea, Mantineia, Alea und Kaphyai.

B. Durch boiotische Einflüsse, den Kult der Athena Tritonia, in Pheneos, Aliphera, Kleitor; vielleicht auch in Thelpusa und Pallantion.

C. Durch den argivischen Diomedes-Athenakult, dessen Merkmale sich in der Verbindung mit dem Trojanischen Krieg in Pheneós, Pallantion, Teuthis und Asea zeigten.

Dem Ursprunge nun wiederum der Kulte von Argos und Theben nachzugehen, kann hier natürlich nicht unsere Aufgabe sein. Dafs andrerseits im Laufe der Zeit eine Vermischung sämmtlicher Kultgruppen eintrat, braucht kaum betont zu werden. Ist schon die Verbindung mit Poseidon, welcher der Tritonia und der Hippia ebenso homogen ist, wie der Alea, allen Gruppen gemeinsam, so finden wir eine directe Vermengung der beiden ersten Kultgruppen z. B. in Kleitor. Die Athena Koria war, wie wir sahen, der Tritonia gleichzusetzen. Die oben unter Kleitor angeführten Zeugnisse

beweisen aber auch, dafs sie identisch mit der Hippia von Tegea ist.[1]) Diese Vereinigung zweier ursprünglich einander fremden Kultbegriffe illustrirt trefflich die Notiz des Et. M. p. 474, 33: *Ἱππία· ἐκλήθη οὕτως ἡ Ἀθηνᾶ, ἐπεὶ ἐκ τῆς κεφαλῆς τοῦ Διὸς μεθ' ἵππων ἀνήλατο, ὡς ὁ ἐπ' αὐτῇ ὕμνος δηλοῖ.* Fanden wir in Tegea ferner die Athena Alea mit Asklepios, Hygieia und Eileithyia[2]) vereint, so treffen wir genau den gleichen Kultcomplex auch in Kleitor an.[3]) In dem zur dritten Gruppe gehörigen Teuthis straft Athena mit Unfruchtbarkeit und Krankheit, wie die Alea von Tegea. In Pheneos wird schliefslich durch Alalkomenai die Brücke zur Alea geschlagen.

Ueber die zu keiner der bisher aufgestellten Gruppen bezogenen arkadischen Athenakulte läfst sich wenig sagen, da wir fast nur durch Münztypen von ihrem Vorhandensein unterrichtet sind. In Mainalos läfst die Erwähnung von Pferderennen in Verbindung mit dem Athenakult auf Verehrung der Hippia schliefsen. Die Kulte der Athena Polias, Ergane und Machanitis in Megalopolis sind nichts specifisch Arkadisches, sondern als gemeingriechisches Gut zu betrachten.

---

1) vgl. besonders die Münztypen.
2) Auge *ἐν γόνασι* Paus. VIII 48, 7.
3) vgl. Paus. VIII 21, 3.

Hermes.

Akakesion.

Paus. VIII 36, 10: Ὑπὸ τούτῳ δὲ τῷ λόφῳ πόλις τε ἦν Ἀκακήσιον, Ἑρμοῦ τε Ἀκακησίου λίθου πεποιημένον ἄγαλμα καὶ ἐς ἡμᾶς ἐστιν ἐπὶ τοῦ λόφου· τραφῆναι δὲ Ἑρμῆν παῖδα αὐτόθι καὶ Ἄκακον τὸν Λυκάονος γενέσθαι οἱ τροφέα Ἀρκάδων ἐστὶν ἐς αὐτὸν λόγος.

Paus. VIII 3, 2: ἀπὸ τούτου δὲ τοῦ Ἀκάκου καὶ Ὅμηρος λόγῳ τῷ Ἀρκάδων ἐς Ἑρμῆν ἐποίησεν ἐπίκλησιν.

Hom. Il. XVI 184:

αὐτίκα δ' εἰς ὑπερῷ' ἀναβὰς παρελέξατο λάθρῃ
Ἑρμείας ἀκάκητα, πόρεν δέ οἱ ἀγλαὸν υἱόν κ. τ. λ.[1])

Eratosth. bei Cramer Anecd. Paris. III 21: Ὡς μὲν Ἐρατοσθένης φησὶν ἀπὸ Ἀκακησίου ὄρους οὕτω λέγεται ὁ Ἑρμῆς.[2])

Schol. Il. V 422: Οὐδ' ως Ἐρατοσθένης παρήκουσεν Ὁμήρου εἰπόντος „Ἑρμείας ἀκάκητα" ἤγουν ἀπὸ Ἀκακησίου ὄρους, ἀλλ' ὁ μηδενὸς κακοῦ μεταδοτικός. ἐπεὶ καὶ δοτὴρ ἑάων.[3])

Callim. Dian. 142:

ἔνθα τοι ἀντιόωντες ἐνὶ προμολῇσι δέχονται
ὅπλα μὲν Ἑρμείης ἀκακήσιος.

Schol. Callim. Dian. 142: Ἀκακήσιος ἀπὸ ὄρους Ἀρκαδίας, ἢ ὁ μηδενὸς κακοῦ παραίτιος ὤν.

Basilis.

Münzen: Mionnet Suppl. IV 274 n. 23. Sestini Mus. Font. T. I 27: Hermeskopf mit Petasos und Kerykeion n. r. R. Füllhorn.

---

1) vgl. Od. XXIV 10. Hesiod bei Strabo I 42.

2) vgl. Schol. Od. XXIV 10.

3) vgl. Et. M. 547. Schol. Il. XVI 185.

Hermupolis (?).

Steph. B. s. v. *Αἰγύπτου πόλις . . . . καὶ ζ' ἐν Ἀρκαδίᾳ.*

Κυλλήνη ὄρος.

Hom. Od. XXIV 1:

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
ἀνδρῶν μνηστήρων.

Hom. hymn. III 1:

Ἑρμῆν ὕμνει Μοῦσα Διὸς καὶ Μαιάδος υἱὸν
Κυλλήνης μεδέοντα καὶ Ἀρκαδίης πολυμήλου,
ἄγγελον ἀθανάτων ἐριούνιον, ὃν τέκε Μαῖα,
νύμφη ἐυπλόκαμος, Διὸς ἐν φιλότητι μιγεῖσα,
αἰδοίη· μακάρων δὲ θεῶν ἠλεύαθ' ὅμιλον,
ἄντρου ἔσω ναίουσα παλισκίου, ἔνθα Κρονίων
νύμφῃ ἐυπλοκάμῳ μιγέσκετο νυκτὸς ἀμολγῷ,
ὄφρα κατὰ γλυκὺς ὕπνος ἔχοι λευκώλενον Ἥρην,
λήθων ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους.
ἀλλ' ὅτε δὴ μεγάλοιο Διὸς νόος ἐξετελεῖτο,
τῇ δ' ἤδη δέκατος μεὶς οὐρανῷ ἐστήρικτο,
καὶ τότ' ἐγείνατο παῖδα πολύτροπον, αἱμυλομήτην,
ληιστῆρ', ἐλατῆρα βοῶν, ἡγήτορ' ὀνείρων,
νυκτὸς ὀπωπητῆρα, πυληδόκον, ὃς τάχ' ἔμελλεν
ἀμφανέειν κλυτὰ ἔργα μετ' ἀθανάτοισι θεοῖσιν.
ὃς καὶ ἐπειδὴ μητρὸς ἀπ' ἀθανάτων θόρε γυίων,
οὐκέτι δηρὸν ἔκειτο μένων ἱερῷ ἐνὶ λίκνῳ,
ἀλλ' ὅ γ' ἀναΐξας ζήτει βόας Ἀπόλλωνος
οὐδὸν ὑπερβαίνων ὑψηρεφέος ἄντροιο.
ἔνθα χέλυν εὑρὼν ἐκτήσατο μυρίον ὄλβον·
Ἑρμῆς τοι πρώτιστα χέλυν τεκτήνατ' ἀοιδόν· κ. τ. λ.

V. 63:

καὶ τὴν μὲν κατέθηκε φέρων ἱερῷ ἐνὶ λίκνῳ,
φόρμιγγα γλαφύρην· ὁ δ' ἄρα κρειῶν ἐρατίζων
ἆλτο κατὰ σκοπίην εὐώδεος ἐκ μεγάροιο
ὁρμαίνων δόλον αἰπὺν ἐνὶ φρεσίν, οἷά τε φῶτες
φηληταὶ διέπουσι μελαίνης νυκτὸς ἐν ὥρῃ.
Ἠέλιος μὲν ἔδυνε κατὰ χθονὸς Ὠκεανόνδε
αὐτοῖσίν θ' ἵπποισι καὶ ἅρμασιν· αὐτὰρ ἄρ' Ἑρμῆς

Πιερίης ἀφίκανε θέων ὄρεα σκιόεντα,
ἔνθα θεῶν μακάρων βόες ἄμβροτοι αὖλιν ἔχεσκον
βοσκόμεναι λειμῶνας ἀκηρασίους, ἐρατεινούς.
τῶν τότε Μαιάδος υἱός, ἐύσκοπος Ἀργειφόντης,
πεντήκοντ' ἀγέλης ἀπετάμνετο βοῦς ἐριμύκους.
πλανοδίας δ' ἤλαυνε διὰ ψαμαθώδεα χῶρον
ἴχνι' ἀποστρέψας· δολίης δ' οὐ λήθετο τέχνης
σάνδαλα δ' εὖτ' ἔρριψεν ἐπὶ ψαμάθοις ἁλίῃσιν,
ἄφραστ' ἠδ' ἀνόητα διέπλεκε θαυματὰ ἔργα
συμμίσγων μυρίκας καὶ μυρσινοειδέας ὄζους.
τῶν τότε συνδήσας νεοθηλέος ἄγκαλον ὕλης
ἀβλαύτοις ὑπὸ ποσσὶν ἐδήσατο σάνδαλα κοῦφα
αὐτοῖσιν πετάλοισι ὁδοιπορίην ἀλεείνων,
οἷά τ' ἐπειγόμενος δολίην ὁδόν, ἀλλοτροπήσας.
τὸν δὲ γέρων ἐνόησε δέμων ἀνθοῦσαν ἀλωὴν
ἱέμενον πεδίονδε δι' Ὀγχηστὸν λεχεποίην·
τὸν πρότερος προσέφη Μαίης ἐρικυδέος υἱός·
Ὦ γέρον, ὅστε φυτὰ σκάπτεις ἐπικαμπύλος ὤμους,
ἦ πολυοινήσεις, εὖτ' ἂν τάδε πάντα φέρησι.
καί τε ἰδὼν μὴ ἰδὼν εἶναι καὶ κωφὸς ἀκούσας,
καὶ σιγᾶν . . . .
. . . . . . ὅτε μή τι καταβλάπτῃ τὸ σὸν αὐτοῦ.
Τόσσον φὰς ἔσσευε βοῶν ἴφθιμα κάρηνα.
πολλὰ δ' ὄρη σκιόεντα καὶ αὐλῶνας κελαδεινους
καὶ πεδί' ἀνθεμόεντα διήλασε κύδιμος Ἑρμῆς.
ὀρφναίη δ' ἐπίκουρος ἐπαύετο δαιμονίη νύξ,
ἡ πλείων, τάχα δ' ὄρθρος ἐγίγνετο δημιοεργός·
ἣ δὲ νέον σκοπιὴν προσεβήσατο δῖα Σελήνη,
Πάλλαντος θυγάτηρ Μεγαμηδείδαο ἄνακτος.
τῆμος ἐπ' Ἀλφειὸν ποταμὸν Διὸς ἄλκιμος υἱὸς
Φοίβου Ἀπόλλωνος βοῦς ἤλασεν εὐρυμετώπους. κ. τ. λ.

V. 138:

αὐτὰρ ἐπεί τοι πάντα κατὰ χρέος ἤνυσε δαίμων,
σάνδαλα μὲν προέηκεν ἐς Ἀλφειὸν βαθυδίνην·
ἀνθρακιὴν δ' ἐμάρανε, κόνιν δ' ἀμάθυνε μέλαιναν
παννύχιος· καλὸν δὲ φόως ἐπέλαμπε Σελήνης.
Κυλλήνης δ' αἶψ' αὖτις ἀφίκετο δῖα κάρηνα

ὄρθριος, οὐδέ τί οἱ δολιχῆς ὁδοῦ ἀντεβόλησεν
οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων,
οὐδὲ κύνες λελάκοντο· Διὸς δ' ἐριούνιος Ἑρμῆς
δοχμωθεὶς μεγάροιο διὰ κλήιθρον ἔδυνεν
αὔρῃ ὀπωρινῇ ἐναλίγκιος, ἠύτ' ὀμίχλη.
ἐσσυμένως δ' ἄρα λίκνον ἐπῴχετο κύδιμος Ἑρμῆς·
σπάργανα δ' ἀμφ' ὤμοις εἰλυμένος, ἠύτε τέκνον
νήπιον, ἐν παλάμῃσι παροιγνὺς λαῖφος ἀθύρων
κεῖτο, χέλυν ἐρατὴν ἐπ' ἀριστερὰ χειρὸς ἐέργων.

Hom. hymn. XIX 30:

Καί ῥ' ὅγ' ἐς Ἀρκαδίην πολυπίδακα μητέρα μήλων
ἐξίκετ, ἔνθα τέ οἱ τέμενος Κυλληνίου ἐστίν.[1])

Alcaeus bei Hephaest. 79 (fr. 5 B.): Χαῖρε Κυλλάνας ὁ μέδεις σὲ γάρ μοι.[2])

Hipponax bei Tzetz. Lyc. 219 (fr. 1 B.): Μαίας παῖδα Κυλλήνης πάλμυν.

Hipponax bei Tzetz. Lyc. 855 (fr. 16 B.): Ἑρμῆ, φίλ' Ἑρμῆ, Μαιαδεῦ, Κυλλήνειε.

Hipponax bei Priscian. de metr. 247 (fr. 20 B.): Κυλλήνιε Μαιάδος Ἑρμῆ.

Simonides bei Tzetz. Lyc. 219:

Μαιάδος Ὀρείης ἑλικοβλεφάροιο γένεθλον·
Αὕτη γὰρ Κυλλήνης ἐν ὄρεσι θεὸν τέχ' Ἑρμῆν.

Pind. Ol. VI 77:

εἰ δ' ἐτητύμως ὑπὸ Κυλλάνας ὄροις, Ἀγησία, μάτρωες ἄνδρες
ναιετάοντες ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις
πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως, ὃς ἀγῶνας ἔχει
μοῖράν τ' ἀέθλων.
Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ.

Soph. Oed. r. 1104:

εἴθ' ὁ Κυλλάνας ἀνάσσων
εἴθ' ὁ Βακχεῖος θεός κ. τ. λ. (vgl. d. Schol.).

---

1) vgl. Hom. hymn. XVIII 1.

2) Dafs der betr. Hymnos des Alkaios den Rinderdiebstahl behandelte, beweist Paus. VII 20, 4. Eine Nachbildung desselben sehen wir vielleicht bei Hor. Od. I 10.

Anth. VI 92 (Phil. Thess.):

Αὐλὸν καμινευτῆρα τὸν φιλήνεμον
ῥίνην τε κνησίχρυσον ὠκυδήκτορα,
καὶ τὸν δίχηλον καρκίνον πυραγρέτην,
πτωκὸς πόδας τε τούσδε λειψανηλόγους,
ὁ χρυσοτέκτων Δημοφῶν Κυλληνίῳ
ἔθηκε, γήρᾳ κανθὸν ἐξοφωμένος.

Anth. XI 274:

Εἰπέ μοι εἰρομένῳ, Κυλλήνιε, πῶς κατέβαινεν
Λολλιανοῦ ψυχὴ δῶμα τὸ Φερσεφόνης;
θαῦμα μέν, εἰ σιγῶσα· τυχὸν δέ τι καί σε διδάσκειν
ἤθελε· φεῦ, κείνου καὶ νέκυν ἀντιάσαι.

Nonn. Dion. 48, 710:

εἰ δὲ λέχος σύλησεν ἐμὸν Κυλλήνιος Ἑρμῆς,
Ἀρκαδίην προθέλυμνον ἐμοῖς βελέεσσιν ὀλέσσω.

Nonn. Dion. 13, 277:

ἔνδιον Ἑρμείαο λιπὼν Κυλλήνιον ἕδρην.

Verg. Aen. VIII 139:

Vobis Mercurius pater est, quem candida Maia
Cyllenae gelido conceptum vertice fudit.[1])

Schwarzfig. Vase Mon. d. I. IX 55: *Ἑρμῆς εἰμι ὁ Κυλλήνιος.*

Theophr. h. pl. IX 15, 7: *τὸ δὲ μῶλυ περὶ Φενεὸν καὶ ἐν τῇ Κυλλήνῃ· φασὶ δ' εἶναι καὶ ὅμοιον, ᾧ ὁ Ὅμηρος*[2]) *εἴρηκε.*

Philosteph. im Schol. Pind. Ol. VI 144: *Φιλοστέφανος δὲ ἐν τῷ περὶ Κυλλήνης φησὶ Κυλλήνην καὶ Ἑλίκην θρέψαι* (scil. *Ἑρμῆν*).

Artemidor. I 43, 6: *εἶδον δὲ καὶ ἐν Κυλλήνῃ γενόμενος Ἑρμοῦ ἄγαλμα οὐδὲν ἄλλο ἢ αἰδοῖον δεδημιουργημένον λόγῳ τινὶ φυσικῷ.*

Schol. Pind. Ol. VI 129: *Κυλλήνη ὄρος Ἀρκαδίας ἱερὸν Ἑρμοῦ.*

Schol. Il. II 603: *Κυλλήνη ὄρος ὑψηλὸν τῆς Ἀρκαδίας, καὶ πόλις οὖσα παρ' αὐτῷ ὁμώνυμος, ἐν ᾧ ὄρει δοκεῖ Ἑρμῆς*

---

1) vgl. Lucan. IX 661. Mart. IX 34, 6. Mart. Cap. I 724. VI 705.
2) Od. X 302 ff.

γεγενῆσθαι ἐκ Μαίας τῆς Ἄτλαντος θυγατρὸς καὶ Διός· ὅθεν καὶ Κυλλήνιον τὸν θεόν φασιν.

Schol. Od. XXIV 10: *Κυλλήνιος ὁ τιμώμενος ἐν Κυλλήνῃ· ἔστι δὲ ὄρος Ἀρκαδίας.*

Schol. Arist. ran. 1266: *τὸ δὲ Ἑρμᾶν μὲν τίομεν λέγουσιν οἱ Ἀρκάδες διὰ ταῦτα· ἐν τῇ Κυλλήνῃ, ἥ ἐστιν ὄρος Ἀρκαδίας, ἐτιμᾶτο ὁ Ἑρμῆς· διὰ γοῦν τὴν ἐξ ἀμνημονεύτων χρόνων τιμὴν ὡς πρόγονος τούτοις ἐδόκει.*

Gemin. elem. astr. I 14: *οἱ γοῦν ἐπὶ τὴν Κυλλήνην ἀναβαίνοντες ὄρος ἐν τῇ Πελοποννήσῳ ὑψηλότατον καὶ θύοντες τῷ καθοσιωμένῳ ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους Ἑρμῇ, ὅταν πάλιν δι' ἐνιαυτοῦ ἀναβαίνοντες τὰς θυσίας ἐπιτελῶσιν, εὑρίσκουσι καὶ τὰ μηρία καὶ τὴν τέφραν τὴν ἀπὸ τοῦ πυρὸς ἐν τῇ αὐτῇ τάξει μένουσαν, ἐν ᾗ καὶ κατέλιπον, καὶ μήθ' ὑπὸ πνευμάτων μήθ' ὑπὸ ὄμβρων ἠλλοιωμένα· διὰ τὸ πάντα τὰ νέφη καὶ τὰς τῶν ἀνέμων συστάσεις ὑποκάτω τῆς τοῦ ὄρους κορυφῆς συνίστασθαι.*[1])

Apollod. III 10, 2: *Μαῖα μὲν οὖν ἡ πρεσβυτάτη Διὶ συνελθοῦσα ἐν ἄντρῳ τῆς Κυλλήνης Ἑρμῆν τίκτει* (es folgt der Mythos vom Rinderdiebstahl).

Paus. VIII 17, 1: *Μετὰ δὲ τοῦ Αἰπύτου τὸν τάφον ὄρος τε ὑψηλότατον ὀρῶν τῶν ἐν Ἀρκαδίᾳ Κυλλήνη καὶ Ἑρμοῦ Κυλληνίου κατεῤῥιμμένος ναός ἐστιν ἐπὶ κορυφῆς τοῦ ὄρους. δῆλα δέ ἐστιν ἀπὸ Κυλλῆνος τοῦ Ἐλάτου τῷ τε ὄρει τὸ ὄνομα καὶ ἡ ἐπίκλησις γεγενημένη τῷ θεῷ. τοῖς δὲ ἀνθρώποις τὸ ἀρχαῖον, ὁπόσα καὶ ἡμεῖς καταμαθεῖν ἐδυνήθημεν, τοσάδε ἦν ἀφ' ὧν τὰ ξόανα ἐποιοῦντο, ἔβενος, κυπάρισσος, αἱ κέδροι, τὰ δρύϊνα, ἡ μῖλαξ, ὁ λωτός· τῷ δὲ Ἑρμῇ τῷ Κυλληνίῳ τούτων μὲν ἀπὸ οὐδενός, θύου δὲ πεποιημένον τὸ ἄγαλμά ἐστιν. ὀκτὼ δὲ εἶναι ποδῶν μάλιστα αὐτὸ εἰκάζομεν.*

Paus. VIII 17, 5: *ἔχεται δὲ ἄλλο ὄρος Κυλλήνης Χελυδόρεα, ἔνθα εὑρὼν χελώνην Ἑρμῆς ἐκδεῖραι τὸ θηρίον καὶ ἀπ' αὐτῆς λέγεται ποιήσασθαι λύραν.*[2])

Luc. Iup. Trag. 42: *Καὶ Κυλλήνιοι Φάλητι* (*θύοντες*).

1) vgl. Plutarch bei Philop. in Ar. meteor. I p. 82.
2) vgl. Ov. am. III 147: testudo Cyllenaea u. Apd. III 10, 2.

Luc. dial. deor. 22: *Οὐχ ὁ Κυλλήνιος Ἑρμῆς ὢν τυγχάνεις;*

Schol. Luc. Icarom. 34: *ὁ Κυλλήνιος Ἑρμῆς ὁ ἐν Κυλλήνῃ τιμώμενος.*

Philostr. vita Apoll. VI 20: *καὶ φαλλοῦ καὶ τοῦ ἐν Κυλλήνῃ εἴδους.*

Hygin. f. 225: Lycaon Pelasgi filius templum Mercurio Cyllenio in Arcadia fecit.

Myth. vat. II 4, 1: Iuppiter cum Maia Atlantis Arcadici filia concubuit; unde natus est Mercurius in Cyllene Arcadiae monte.[1])

Steph. B. s. v. *Κυλλήνη· καὶ Κύλλιος λέγεται Ἑρμῆς κατὰ συγκοπὴν τοῦ Κυλλήνιος.*[2])

Et. M. s. v. *Κυλλήνιος· Ὁ ἐν Κυλλήνῃ ὄρει τῆς Ἀρκαδίας τιμώμενος· Κυλλήνη δὲ Ἀρκαδίας ἱερὸν Ἑρμοῦ καὶ Ἀπόλλωνος.*

Suid. s. v. *Κυλλήνη· ὄνομα πόλεως· καὶ Κυλλήνιος ὁ Ἑρμῆς.*

Hippol. ref. haer. V 8: *ἕστηκε δὲ ἀγάλματα δύο ἐν τῷ Σαμοθράκων ἀνακτόρῳ ἀνθρώπων γυμνῶν ἄνω τεταμένας ἐχόντων τὰς χεῖρας ἀμφοτέρας ἐς οὐρανὸν καὶ τὰς αἰσχύνας ἄνω ἐστραμμένας καθάπερ ἐν Κυλλήνῃ τὸ τοῦ Ἑρμοῦ.*

Eust. Od. p. 1951: *Κυλλήνιος ὁ Ἑρμῆς μυθικῶς μὲν ἀπὸ Κυλλήνης, ἥτις ὄρος ἐστὶν Ἀρκαδίας, σταδίων ἐννέα Ὀλυμπιακῶν παρὰ πόδας ὀγδοήκοντα, καθά φασιν ἱστορεῖν Ἀπολλόδωρον, ὀνομασθὲν ἀπὸ Κυλλήνης ἡρωΐδος τινός. περιάδεται δὲ διαφερόντως ἐν τοῖς περὶ τὸ τοιοῦτον ὄρος τιμᾶσθαι τὸν Ἑρμῆν κἀκεῖθεν σχεῖν τὸ λεχθὲν ἐπίθετον.*

Kynosura.

Steph. B. s. v. *Κυνόσουρα· ἄκρα Ἀρκαδίας, ἀπὸ Κυνοσούρου τοῦ Ἑρμοῦ.*

Megalopolis.

Paus. VIII 30, 6: *Ἑρμοῦ δὲ Ἀκακησίου πρὸς αὐτῇ ναὸς κατεβέβλητο, καὶ οὐδὲν ἐλείπετο, ὅτι μὴ χελώνη λίθου.*

1) vgl. Myth. vat. I 119. III 9, 7.
2) vgl. Eustath. ad Il. II 603 p. 300, 34.

Paus. VIII 32, 2: *τὸ δὲ τῶν Μουσῶν Ἀπόλλωνός τε ἱερὸν καὶ Ἑρμοῦ κατασκευασθέν σφισιν ἐν κοινῷ παρείχετο ἐς μνήμην θεμέλια οὐ πολλά.*

Paus. VIII 32, 3: *Ἡρακλέους δὲ κοινὸς καὶ Ἑρμοῦ πρὸς τῷ σταδίῳ ναὸς μὲν οὐκέτι ἦν, μόνος δέ σφισι βωμὸς ἐλείπετο.*

Paus. VIII 31, 6: *Ἀγάλματα δὲ ἐν τῷ ναῷ (τῆς Ἀφροδίτης) Δαμοφῶν ἐποίησεν, Ἑρμῆν ξύλου καὶ Ἀφροδίτης ξόανον.*

Paus. VIII 32, 4: *εἰσὶ δὲ ὑποκαταβάντι ὀλίγον θεοί, παρέχονται δὲ καὶ οὗτοι σχῆμα τετράγωνον, Ἐργάται δέ ἐστιν αὐτοῖς ἐπίκλησις, Ἀθηνᾶ τε Ἐργάνη καὶ Ἀπόλλων Ἀγυιεύς. τῷ δὲ Ἑρμῇ καὶ Ἡρακλεῖ καὶ Εἰλειθυίᾳ πρόσεστιν ἐξ ἐπῶν τῶν Ὁμήρου φήμη, τῷ μὲν Διός τε αὐτὸν διάκονον εἶναι καὶ ὑπὸ τὸν Ἅιδην ἄγειν τῶν ἀπογινομένων τὰς ψυχάς, Ἡρακλεῖ δὲ ὡς πολλούς τε καὶ χαλεποὺς τελέσειεν ἄθλους· Εἰλειθυίᾳ δὲ ἐποίησεν ἐν Ἰλιάδι ὠδῖνας γυναικῶν μέλειν.*

Paus. VIII 31, 7: *Κεῖται δὲ ἐντὸς τοῦ περιβόλου θεῶν τοσάδε ἄλλων ἀγάλματα, τὸ τετράγωνον παρεχόμενα σχῆμα, Ἑρμῆς τε ἐπίκλησιν Ἀγήτωρ κ. τ. λ.*

Paus. VIII 34, 6: *καὶ ἀπ' αὐτῆς στάδια εἴκοσί ἐστιν ἐπὶ τὸ Ἑρμαῖον, ἐς ὃ Μεσσηνίοις καὶ Μεγαλοπολίταις εἰσὶν ὅροι· πεποίηνται δὲ αὐτόθι καὶ Ἑρμῆν ἐπὶ στήλῃ.*

Paus. VIII 35, 2: *Φαιδρίου δὲ ὡς πέντε ἀπέχει καὶ δέκα σταδίους κατὰ Δέσποιναν ὀνομαζόμενον Ἑρμαῖον, ὅροι Μεσσηνίων πρὸς Μεγαλοπολίτας καὶ οὗτοι, καὶ ἀγάλματα οὐ μεγάλα Δεσποίνης τε καὶ Δήμητρος, ἔτι δὲ καὶ Ἑρμοῦ πεποίηται καὶ Ἡρακλέους, δοκεῖν δέ μοι καὶ τὸ ὑπὸ Δαιδάλου ποιηθὲν τῷ Ἡρακλεῖ ξόανον ἐν μεθορίῳ τῆς Μεσσηνίας καὶ Ἀρκάδων ἐνταῦθα εἱστήκει.*

Methydrion.

Theopomp. bei Porphyr. de abst. II 16: *Τὸν δὲ Κλέαρχον φάναι ἐπιτελεῖν καὶ σπουδαίως θύειν ἐν τοῖς προσήκουσι χρόνοις, κατὰ μῆνα ἕκαστον ταῖς νουμηνίαις στεφανοῦντα καὶ φαιδρύνοντα τὸν Ἑρμῆν καὶ τὴν Ἑκάτην, καὶ τὰ λοιπὰ τῶν ἱερῶν, ἃ δη τοὺς προγόνους καταλιπεῖν, καὶ τιμᾶν λιβανωτοῖς καὶ ψαιστοῖς καὶ ποπάνοις.*

Nonakris.

Lycophr. 680: *Νωνακριάτης τρικέφαλος φαιδρὸς θεός.*

Tzetz. Lyc. 680: *Νωνακρία γὰρ πόλις Ἀρκαδίας, ἔνθα τιμᾶται ὁ Ἑρμῆς.*

Steph. B. s. v. *Νώνακρις· Νωνακριάτης, ὁ Ἑρμῆς.*

Pallantion.

Paus. VIII 43, 2: *Φασὶ δὲ γενέσθαι καὶ γνώμην καὶ τὰ ἐς πόλεμον ἄριστον τῶν Ἀρκάδων ὄνομα Εὔανδρον, παῖδα δὲ αὐτὸν νύμφης τε εἶναι, θυγατρὸς τοῦ Λάδωνος, καὶ Ἑρμοῦ.*

Dion. Hal. I 31, 1: *Μετὰ δὲ οὐ πολὺν χρόνον στόλος ἄλλος Ἑλληνικὸς εἰς ταῦτα τὰ χωρία τῆς Ἰταλίας κατάγεται, ἑξηκοστῷ μάλιστα ἔτει πρότερον τῶν Τρωικῶν, ὡς αὐτοὶ Ῥωμαῖοι λέγουσιν, ἐκ Παλλαντίου πόλεως Ἀρκαδικῆς ἀναστάς. ἡγεῖτο δὲ τῆς ἀποικίας Εὔανδρος Ερμοῦ λεγόμενος καὶ νύμφης τινὸς Ἀρκάσιν ἐπιχωρίας, ἣν οἱ μὲν Ἕλληνες Θέμιν εἶναι λέγουσι καὶ θεοφόρητον ἀναφαίνουσιν, οἱ δὲ τὰς Ῥωμαϊκὰς συγγράψαντες ἀρχαιολογίας τῇ πατρίῳ γλώσσῃ Καρμένтην ὀνομάζουσιν· εἴη δ' ἂν Ἑλλάδι φωνῇ Θεσπιῳδὸς τῇ νύμφῃ τοὔνομα· τὰς μὲν γὰρ ᾠδὰς καλοῦσι Ῥωμαῖοι κάρμινα, τὴν δὲ γυναῖκα ταύτην ὁμολογοῦσι δαιμονίῳ πνεύματι κατάσχετον γενομένην τὰ μέλλοντα συμβαίνειν τῷ πλήθει δι' ᾠδῆς προλέγειν.*[1])

Pheneos.

Paus. VIII 14, 10: *θεῶν δὲ τιμῶσιν Ἑρμῆν Φενεᾶται μάλιστα καὶ ἀγῶνα ἄγουσιν Ἕρμαια, καὶ ναός ἐστιν Ἑρμοῦ σφίσι καὶ ἄγαλμα λίθου· τοῦτο ἐποίησεν ἀνὴρ Ἀθηναῖος Εὔχειρ [ὁ] Εὐβουλίδου. ὄπισθεν δέ ἐστι τοῦ ναοῦ τάφος Μυρτίλου, τοῦτον Ἑρμοῦ παῖδα εἶναι Μυρτίλον λέγουσιν Ἕλληνες, ἡνιοχεῖν δὲ αὐτὸν Οἰνομάῳ.*[2])

Polemon. Schol. Pind. Ol. VII 153: *πολλοὶ δὲ ἄγονται ἀγῶνες ἐν Ἀρκαδίᾳ, Λύκαια, Κόρεια, Ἀλεαῖα, Ἕρμαια.*

---

1) Heroische Verehrung des Euandros in Pallantion bezeugt Paus. VIII 44, 5.

2) vgl. Soph. El. 508 u. d. Schol. dazu, Paus. V 1, 7. Schol. Ap. Rh. I 752. Dio Chrys. 32 p. 385 M. u. A.

Schol. Pind. Ol. VI 144: *ἐναγωνίου δὲ ὄντος τοῦ θεοῦ φησιν ὅτι οἱ περὶ τὸν Ἀγησίαν διὰ τὴν συγγένειαν, ἐπειδὴ καὶ ὁ Ἑρμῆς ἐν Ἀρκαδίᾳ, εἰκότως νικῶσιν.*

Inschr. Arch. Z. 1877 S. 47:

καὶ μὰν καὶ Λουσοί με κατέστεφον ἠδ' Ἐπίδαυρος
καὶ Φένεος Νεμέα τ' ἴαχον ἀθλοφόρον.

Paus. V 27, 8: *Ὁ δὲ Ἑρμῆς ὁ τὸν κριὸν φέρων ὑπὸ τῇ μασχάλῃ καὶ ἐπικείμενος τῇ κεφαλῇ κυνῆν καὶ χιτῶνά τε καὶ χλαμύδα ἐνδεδυκώς, οὐ τῶν Φόρμιδος ἔτι ἀναθημάτων ἐστὶν, ὑπὸ δὲ Ἀρκάδων ἐκ Φενεοῦ δέδοται τῷ θεῷ. Ὀνάταν δὲ τὸν Αἰγινήτην σὺν δὲ αὐτῷ Καλλιτέλην ἐργάσασθαι λέγει τὸ ἐπίγραμμα· δοκεῖν δέ μοι τοῦ Ὀνάτα μαθητὴς ἢ παῖς ὁ Καλλιτέλης ἦν.*

Kaibel epigr. gr. 781, 11:

ἀλλ' ἀσινὴς ἔρχευ καὶ ἀπ' Ἀρκαδίης τεμενουρὸν
Ἑρμῆν οὐ μέμψει τρηχέος ἐχ Φενεοῦ.

Cic. de nat. deor. III 56: quintus (Mercurius), quem colunt Pheneatae, quod Argum dicitur interemisse ob eamque causam Aegyptum profugisse atque Aegyptiis leges et litteras tradidisse.

Paus. VIII 16, 1: *τοῦ Γεροντείου δὲ ἐν ἀριστερᾷ διὰ τῆς Φενεατικῆς ὁδεύοντι ὄρη Φενεατῶν ἐστὶ Τρίκρηνα καλούμενα, καί εἰσιν αὐτόθι κρῆναι τρεῖς· ἐν ταύταις λοῦσαι τεχθέντα Ἑρμῆν αἱ περὶ τὸ ὄρος λέγονται Νύμφαι, καὶ ἐπὶ τούτῳ τὰς πηγὰς ἱερὰς Ἑρμοῦ νομίζονται.*

Imhoof-Blumer: Monn. gr. 205 A. 74: Eberkopf aus Bronze in Winterthur mit der Inschrift: *ΕΡΜΑΝΟΣ ΦΕΝΕΟΙ.*

Münzen: Mionnet II 252 n. 52: *ΦΕΝΕΩΝ · ΑΡΚΑΣ* Mercure marchant à gauche tenant dans la main dr. son caducée et portant sur le bras gauche la penula et un jeune enfant.[1]) R. Demeter. 4tes Jahrh. (vgl. Suppl. IV 285 n. 77). Journ. of Hell. stud. VII 101. Hermes wearing petasos and chlamys seated on rock. holds in right caduceus, left rests on rock. 4tes Jahrh. Mionnet Suppl. IV 285 n. 78: Tête de Mercure à dr. avec le pétase attaché par derriere. R. bélier

1) vgl. Apollod. III 8, 2. Hyg. f. 224.

(vgl. Arch. Z. IV 301 n. 48). Mitt. d. arch. Inst. z. Athen I 173 (Pellerin Recueil de méd. de peuples et de villes III T. 117, 12): Hermeskopf mit Petasos. R. weidendes Pferd *ΕΠΙ ΙΕΡΕΩΣ-ΕΡΜΑΞΟΟΥ.* Mionnet: Suppl. IV 252 n. 88: Plautilla. *ΦΕΝΕΑΤΩΝ* Mercure nu debout à g. tenant de la main dr. une bourse et de la g. son caducée et la penula; devant un terme. n. 83: Caracalla: *ΦΕΝΕΑΤΩΝ* Mercure nu debout tenant de la main g. un caducée et le strophium, et la dr. au dessus d'un autel. Journ. of Hell. stud. VII 101: Terme-like figure of Hermes clad in himation and holding caduceus in r. hand; end of garment wrapped round l. arm. vgl. noch Leake Eur. Sup. 140. Cat. of gr. coins in the Brit. Mus. Pelop. 193 ff. XXXVI 1—7. Friedländer u. v. Sallet: das kgl. Münzkab. II 153.

Phigalia.

Paus. VIII 39, 6: *Ἐν δὲ τῷ γυμνασίῳ τὸ ἄγαλμα τοῦ Ἑρμοῦ ἀμπεχομένῳ μὲν ἔοικεν ἱμάτιον, καταλήγει δὲ οὐκ ἐς πόδας, ἀλλὰ ἐς τὸ τετράγωνον σχῆμα.*

Münzen: Journ. of Hell. stud. VII 110: Terme-like figure of Hermes clad in himation and holding caduceus in r. hand; end of garment wrapped round l. arm. vgl. Mionnet Suppl. IV 290 n. 100. Leake Eur. Sup. 90.

Stymphalos.

Aesch. Psychagog. bei Arist. ran. 1266: *Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν.*[1])

Tegea.

Paus. VIII 47, 4: *ἀπωτέρω δὲ τῆς κρήνης ὅσον σταδίοις τρισίν ἐστιν Ερμοῦ ναὸς Αἰπύτου.*

Kirchhoff Gesch. d. gr. Alph.[3] 149: *Ποσειδᾶνος, Ηερμᾶ[νο]ς Ηηρακλέ[ο]ς Χαρ[ί]τ[ων].*

Lebas-Foucart 345e: *Ἑρμῇ χαῖρε.*

---

1) vgl. Schol. Arist. ran. 1266.

Thelpusa.

